19. Iambl. apud Stob. ecl. I 41, 42 ἢ τῇ ἀοχλησίᾳ καθ' Ἱερώνυμον ἢ ἄλλοις τισὶ τρόποις διαγωγῆς τὸ αἱρετὸν ἔχοντες κτλ. —

Cf. Brandis *Gesch. der griech.-röm. Philos.* III 2 p. 245. Zeller l. c. p. 924.

XII. Cic. Tusc. disp. V. 41, 118 *mihi quidem in vita servanda videtur illa lex, quae in Graecorum conviviis obtinetur. 'aut bibat' inquit 'aut abeat'. et recte; aut enim fruatur aliquis pariter cum aliis voluptate potandi aut, ne sobrius in violentiam vinulentorum incidat, ante discedat. sic iniurias fortunae, quas ferre nequeas, defugiendo relinquas. haec eadem, quae Epicurus, totidem verbis dicit Hieronymus.*

XIII. Seneca de ira I 19, 3 *quid opus est, inquit Hieronymus, cum velis caedere aliquem, tua prius labra mordere?*

XIV. Plut. de cohib. ira 4 p. 454 οὐκ ἤρεσκεν οὖν μοι καίπερ ἄλλα χρήσιμα λέγων καὶ παραινῶν ὁ Ἱερώνυμος ἐν οἷς οὔ φησι γινομένης, ἀλλὰ γεγενημένης καὶ οὔσης αἴσθησιν ὀργῆς εἶναι διὰ τὸ τάχος. οὐδὲν γὰρ οὕτω τῶν παθῶν συλλεγόμενον καὶ διακινούμενον ἔχει τὴν γένεσιν ἐμφανῆ καὶ τὴν αὔξησιν.

XV. Plut. de cohib. ira 12 p. 460 αὕτη μὲν οὖν ἴσως οὐκ ὀργῆς ἰατρεία φανεῖται, διάκρουσις δὲ καὶ φυλακὴ τῶν ἐν ὀργῇ τινος ἁμαρτημάτων· καίτοι καὶ σπληνὸς οἴδημα σύμπτωμα μέν ἐστι πυρετοῦ, πραϋνόμενον δὲ κουφίζει τὸν πυρετόν, ὥς φησιν Ἱερώνυμος.

XVI. Stob. ecl. eth. 31 in floril. Laurent. II 13, 121 (p. 209 Meinek.) Ἱερωνύμου. Δεῦρο δὴ καὶ σκεψώμεθα περὶ τῆς τῶν παίδων ἀγωγῆς τίνα τρόπον διειλήφασιν οἱ πατέρες· οὐ γὰρ μόνον ἐν τοῖς πρότερον ἀλλὰ καὶ ἐν τούτοις εὑρήσομεν αὐτοὺς οὐ μικρὰ διαφωνοῦντας (τοῖς νῦν vel τοῖς καθ' ἡμᾶς vel tale quid excidisse coni. Meinekius)· οἵτινες πρῶτον μὲν βαρβάροις παραβάλλοντες παιδαγωγοῖς (τὰ παιδί' ἀγωγοῖς coni. Mein.) καὶ τούτων ἀκούειν κελεύσαντες (κελεύοντες coni. Mein.) ἱκανῶς ἐπιμελεῖσθαι νομίζουσιν, ὥσπερ τοῦ κατὰ πόδας ἀκολουθήσοντος (ἀκολουθήσαντος codex, em. Wyttenbach ad Plut. Mor. p. 4 A), ἀλλ' οὐ τοῦ καλῶς ἡγησομένου (ἡγησαμένου cod., em. Wytt.) δεομένων τῶν παιδίων (παίδων cod., em. Mein.), καὶ τοῦ φυλάττοντος (φυλάξοντος coni. Mein.) καθάπερ συβώτου μὴ (μὴ em. Mein., εἰ cod.) πλανηθῇ, ἀλλ' οὐχὶ . . . ('deest quid, forte τοῦ παραινοῦντος vel simile quid' Wytt.). διὸ καὶ τὸν ἐκ τῶν ἐργατῶν ἀποδοκιμασθέντα, τοῦτον ἐπὶ παιδαγωγίᾳ κατατάττουσι, τὰ φύσει τιμιώτατα (τιμιώτερα cod., em. Mein.) τοῖς εὐτελεστάτοις διδόντες. ὅθεν καὶ Περικλῆς, οἰκέτου ποτὲ πεσόντος ἀπὸ ἐλαίας καὶ τὸ σκέλος συντρίψαντος, 'νέος ἄρα' (νέε ὅρα cod., em. C. Fr. Hermann *griech. Privatalterth.* 34, 18) ἔφη 'παιδαγωγὸς πέφηνεν (πέφηνας coni. Wytt.)', οὐκ ἀπιθάνως τῆς ὑπουργίας τὴν ἀτιμίαν σκώψας.

Cf. Hermann l. c. Subabsurdum istud dictum ut Pericli tribueretur, compluribus aliis narratiunculis effici potuit. Pseudoplat. Alcibid. I. p. 122 B σοὶ δ', ὦ Ἀλκιβιάδη, Περικλῆς ἐπέστησε παιδαγωγὸν τῶν οἰκετῶν τὸν ἀχρειότατον ὑπὸ γήρως, Ζώπυρον τὸν Θρᾷκα. Plut. Per. 13 ὁ γὰρ ἐνεργότατος καὶ προθυμότατος τῶν τεχνιτῶν ἀποσφαλεὶς ἐξ ὕψους ἔπεσε καὶ διέκειτο μοχθηρῶς ὑπὸ τῶν ἰατρῶν ἀπεγνωσμένος· ἀθυμοῦντος δὲ τοῦ Περι-

κλέους κτλ. Plin. nat. hist. XXII 44 *verna carus Pericli Atheniensium principi, cum is in arce templum aedificaret repsissetque super altitudinem fastigi et inde cecidisset e. q. s.* Laert. IX 82 Θέων δ' ὁ Τιθοραιεὺς ὁ στωικὸς κοιμώμενος περιεπάτει ἐν τῷ ὕπνῳ καὶ Περικλέους δοῦλος ἐπ' ἄκρου τοῦ τέγους.

XVII. Athen. XIII p. 602 A Ἱερώνυμος δὲ ὁ περιπατητικὸς περισπουδάστους φησὶ γενέσθαι τοὺς τῶν παίδων ἔρωτας, ὅτι πολλάκις ἡ τῶν νέων ἀκμὴ καὶ τὸ πρὸς ἀλλήλους ἑταιρικὸν συμφρονῆσαν πολλὰς (oblitus est Athenaeus antea πολλάκις positum esse; an leg. ὅλας?) τυραννίδας καθεῖλε. παιδικῶν (παίδων cod., em. Schweighaeuser) γὰρ παρόντων ἐραστὴς πᾶν ὁτιοῦν ἕλοιτ' ἂν παθεῖν ἢ δειλοῦ δόξαν ἀπενέγκασθαι παρὰ τοῖς παιδικοῖς. ἔργῳ γοῦν τοῦτο ἔδειξεν ὁ συνταχθεὶς Θήβησιν ὑπὸ Ἐπαμεινώνδου ἱερὸς λόχος (cf. Plut. Pelop. 18 sq. Diod. XII 70. Ath. XIII p. 561 F. Polyaenus II 5, 1), καὶ ὁ κατὰ Πεισιστρατιδῶν θάνατος ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος γενόμενος (haec quoque Athenaeus ipse neglegentius exscripsisse videtur)· περὶ Σικελίαν δ' ἐν Ἀκράγαντι ὁ Χαρίτωνος καὶ Μελανίππου (ἔρως add. Schweighaeuser). Μελάνιππος δ' ἦν τὰ παιδικά, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ ἐρωτικῶν. οὗτοι φανέντες ἐπιβουλεύοντες Φαλάριδι καὶ βασανιζόμενοι ἀναγκαζόμενοί τε λέγειν τοὺς συνειδότας οὐ μόνον οὐ κατεῖπον, ἀλλὰ καὶ τὸν Φάλαριν αὐτὸν εἰς ἔλεον τῶν βασάνων ἤγαγον, ὡς ἀπολῦσαι αὐτοὺς πολλὰ ἐπαινέσαντα· διὸ καὶ ὁ Ἀπόλλων ἡσθεὶς ἐπὶ τούτοις ἀναβολὴν τοῦ θανάτου τῷ Φαλάριδι ἐχαρίσατο, τοῦτο ἐμφήνας τοῖς πυνθανομένοις τῆς Πυθίας ὅπως αὐτῷ ἐπιθῶνται· ἔχρησέ τε καὶ περὶ τῶν ἀμφὶ τὸν Χαρίτωνα, προτάξας τοῦ ἑξαμέτρου τὸ πεντάμετρον, καθάπερ ὕστερον καὶ Διονύσιος ὁ Ἀθηναῖος ἐποίησεν ὁ ἐπικληθεὶς χαλκοῦς ἐν τοῖς ἐλεγείοις. ἔστι δὲ ὁ χρησμὸς ὅδε·

εὐδαίμων Χαρίτων καὶ Μελάνιππος ἔφυ,
θείας ἁγητῆρες ἐφαμερίοις φιλότατος·

διαβόητα δ' ἐστὶ κτλ. (sequitur narratio de Cratino et Aristodemo ex Neanthe Cyziceno deprompta.) διὰ τοὺς τοιούτους οὖν ἔρωτας οἱ τύραννοι — πολέμιοι γὰρ αὐτοῖς αὗται αἱ φιλίαι — τὸ παράπαν ἐκώλυον τοὺς παιδικοὺς ἔρωτας, πανταχόθεν αὐτοὺς ἐκκόπτοντες. εἰσὶ δὲ οἳ καὶ τὰς παλαίστρας ὥσπερ ἀντιτειχίσματα ταῖς ἰδίαις ἀκροπόλεσιν ἐνεπίμπρασάν τε καὶ κατέσκαψαν, ὡς ἐποίησε Πολυκράτης ὁ Σαμίων τύραννος.

Cf. de eiusmodi disputationibus Rohde *der griech. Roman* p. 56 sqq.

Heraclidis narrationem de Charitone et Melanippo, de qua cf. Wolff Porphyr. de phil. ex orac. haur. libr. rell. p. 88 sq., utrum is scriptor, quo Athenaeus usus est, eodem modo quo fragmentum Neanthis cum Hieronymi expositione coniunxerit, an ipse Hieronymus addito Heraclidis testimonio protulerit, non liquet. Sed id certe quod Wolffius statuit, verba illa Μελάνιππος — ἐρωτικῶν ab Athenaeo verbis Hieronymi esse interposita, omni probabilitate caret.

XVIII. Plut. de recta ratione audiendi 18 p. 48 ἕτεροι δὲ προσοχῆς καὶ δριμύτητος ἐν οὐ δέοντι θηρώμενοι δόξαν ἀποκναίουσι λαλιᾷ καὶ περιεργίᾳ τοὺς λέγοντας, ἀεί τι προσδιαποροῦντες τῶν οὐκ ἀναγκαίων καὶ ζητοῦντες ἀποδείξεις τῶν οὐ δεομένων. οὕτως ὁδὸς βραχεῖα γίγνεται μακρά, ὥς φησι Σοφοκλῆς (Antig. 237), οὐκ αὐτοῖς μόνον ἀλλὰ καὶ τοῖς ἄλλοις. ἀντιλαμβανόμενοι γὰρ ἑκάστοτε κεναῖς καὶ περιτταῖς ἐρωτήσεσι τοῦ διδάσκοντος, ὥσπερ ἐν συνοδίᾳ, τὸ ἐνδελεχὲς ἐμποδίζουσι τῆς μαθήσεως ἐπιστάσεις καὶ διατριβὰς λαμβανούσης. οὗτοι μὲν οὖν κατὰ τὸν Ἱερώνυμον ὥσπερ οἱ δειλοὶ καὶ γλίσχροι (λίχνοι coni. Wyttenbach) σκύλακες τὰ δέρματα δάκνοντες οἴκοι καὶ τὰ τίλματα τίλλοντες τῶν θηρίων αὐτῶν οὐχ ἅπτονται.

Plat. Rep. VII p. 539 B οἶμαι γάρ σε οὐ λεληθέναι, ὅτι οἱ μειρακίσκοι, ὅταν τὸ πρῶτον λόγων γεύωνται, ὡς παιδιᾷ αὐτοῖς καταχρῶνται, ἀεὶ εἰς ἀντιλογίαν χρώμενοι, καὶ μιμούμενοι τοὺς ἐξελέγχοντας αὐτοὶ ἄλλους ἐλέγχουσι, χαίροντες ὥσπερ σκυλάκια τῷ ἕλκειν τε καὶ σπαράττειν τῷ λόγῳ τοὺς πλησίον ἀεί. Cf. Wyttenbach ad Plut. de sera num. vind. p. 11.

XIX. Plut. quaest. conv. I 8, 3 p. 626 Λαμπρίας δὲ ὁ ** τὴν Ἱερώνυμον ** οὐκ ἀνέγνωκεν ** εὐφυΐαν ἐμπεσών (Λαμπρίας δὲ ὁ ἀδελφὸς τὴν Ἱερωνύμου μόνον οὐκ ἀνέγνωκεν εὐφυΐαν ἐμπεσών Stephanus, Λαμπρίας δὲ ὁ ἀδελφὸς ἔφη θαυμάζειν εἴ τις τὴν Ἱερωνύμου βίβλον οὐκ ἀνέγνωκεν ἐν ᾗ φησι κατ' Ἐμπεδοκλέα coni. Wyttenbach), ὅτι τοῖς προσπίπτουσιν ἀπὸ τῶν ὁρατῶν εἴδεσι πρὸς τὴν ὄψιν ὁρῶμεν, ἃ πρῶτον μὲν ἀπέρχεται μεγάλα καὶ παχυμερῆ· διὸ τοὺς γέροντας ἐγγύθεν ἐπιταράττει βραδύπορον καὶ σκληρὰν ἔχοντας τὴν ὅρασιν· ἀνενεχθέντων δ' εἰς τὸν ἀέρα καὶ λαβόντων διαστήματα τὰ μὲν γεώδη περιθραύεται καὶ ἀποπίπτει, τὰ δὲ λεπτὰ προσπελάζοντα ταῖς ὄψεσιν ἀλύπως καὶ ὁμαλῶς ἐναρμόττει τοῖς πόροις, ὥστε ἧττον ταραττομένους μᾶλλον ἀντιλαμβάνεσθαι· καὶ γὰρ αἱ τῶν ἀνθῶν ὀσμαὶ πόρρωθεν εὐωδέστεραι προσπίπτουσιν· ἂν δὲ ἐγγύθεν ἄγαν προσάγῃς, οὐχ οὕτω

καθαρὸν οὔτ' ἄκρατον ὀδώδασιν. αἴτιον δὲ ὅτι πολλὰ τῶν γεωδῶν καὶ θολερῶν συναποφέρεται τῇ ὀσμῇ, καὶ διαφθείρει τὴν εὐωδίαν ἐγγύθεν λαμβανομένην· ἂν δ' ἄπωθεν, τὰ μὲν θολερὰ καὶ γεώδη περιρρεῖ καὶ ὑποπίπτει, τὸ δ' εἰλικρινὲς καὶ θερμὸν ὑπὸ λεπτότητος διασώζεται πρὸς τὴν αἴσθησιν.

Cf. Aristot. problem. 31, 25.

XX. Etym. m. (cod. Paris.) 66, 5. Etym. Gud. 36, 13 (cf. Ritschl opusc. philol. I p. 681) ἀλκαία, ἡ οὐρά, κυρίως δὲ ἡ τοῦ λέοντος διὰ τὸ εἰς ἀλκὴν αὐτὸν προτρέπειν· ἔχει γὰρ ἐπὶ τῇ οὐρᾷ κέντρον ὑφ' οὗ παροξύνεται, καθά φησιν Ἱερώνυμος καὶ Ἐπαφρόδιτος ἐν ὑπομνήσει Ἀσπίδος Ἡσιόδου.

Ἡρωδιανὸς pro Ἱερώνυμος non recte coni. Nauckius Philol. V p. 691. Cf. Luenzner Epaphroditi quae supers. p. 16. 45. Schol. B Il. Y 170 (οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται) ἔχει γὰρ ὑπὸ τῇ οὐρᾷ κέντρον μέλαν, ὡς κεράτιον, δι' οὗ ἑαυτὸν μαστίζει (ὑφ' οὗ νυττόμενος πλέον ἀγριοῦται add. man. sec.).

XXI. Laert. I 27 ὁ δὲ Ἱερώνυμος καὶ ἐκμετρῆσαί φησιν αὐτὸν (Thalem) τὰς πυραμίδας, ἐκ τῆς σκιᾶς παρατηρήσαντα ὅτε ἡμῖν ἰσομεγέθεις εἰσί (ἰσομεγέθης ἐστί probabiliter coni. Menagius).

Cf. Plin. nat. hist. XXXVI 12, 82 *mensuram altitudinis earum omnemque similem deprehendere invenit Thales Milesius umbram metiendo qua hora par esse corpori solet.* Plut. septem sap. conv. 2 p. 147 ἐπεὶ σοῦ γε καὶ ἄλλα θαυμάζει, καὶ τῆς πυραμίδος τὴν μέτρησιν ὑπερφυῶς ἠγάπησεν, ὅτι πάσης ἄνευ πραγματείας καὶ μηδενὸς ὀργάνου δεηθεὶς ἀλλὰ τὴν βακτηρίαν στήσας ἐπὶ τῷ πέρατι τῆς σκιᾶς ἣν ἡ πυραμὶς ἐποίει, γενομένων τῇ ἐπαφῇ τῆς ἀκτῖνος δυοῖν τριγώνων, ἔδειξας ὃν ἡ σκιὰ πρὸς τὴν σκιὰν λόγον εἶχε τὴν πυραμίδα πρὸς τὴν βακτηρίαν ἔχουσαν. Zeller I[4] p. 172.

XXII. Laert. VIII 21 φησὶ δ' Ἱερώνυμος κατελθόντα αὐτὸν (Pythagoram) εἰς Ἅιδου τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην καὶ τρίζουσαν, τὴν δ' Ὁμήρου κρεμαμένην ἀπὸ δένδρου καὶ ὄφεις περὶ αὐτήν, ἀνθ' ὧν εἶπον περὶ θεῶν, κολαζομένους δὲ καὶ τοὺς μὴ θέλοντας συνεῖναι ταῖς ἑαυτῶν γυναιξί· καὶ δὴ καὶ διὰ τοῦτο τιμηθῆναι ὑπὸ τῶν ἐν Κρότωνι.

Postrema qua ratione intellegenda sint, perspicuum est ex iis quae apud Laert. § 41 Hermippus de Pythagora refert: εἰσελθόντα τ' εἰς τὴν ἐκκλησίαν φάσκειν ὡς ἀφῖκται ἐξ Ἅιδου· καὶ δὴ καὶ ἀνεγίνωσκεν αὐτοῖς τὰ

συμβεβηκότα. οἱ δὲ σαινόμενοι τοῖς λεγομένοις ἐδάκρυόν τε καὶ ᾤμωζον καὶ ἐπίστευον εἶναι τὸν Πυθαγόραν θεῖόν τινα κτλ. Praeterea apparet, Hieronymum quoque nugas illas ita tantum commemorare potuisse, ut ab ipso Pythagora prolatas eas fuisse diceret. Iam quarto saeculo, ut elucet ex fragmento Aristophontis apud Laert. § 38, Pythagoras de fabuloso illo itinere nonnulla memoriae prodidisse perhibebatur. Hieronymus utrum ineptias quas supra exscripsi ipse finxerit an ab aliis mutuatus sit, in medio relinquo. Lobeckii autem opinio (Aglaoph. p. 944), Hieronymum eas sumpsisse ex peregrinationis illius descriptione Pythagorae ipsi attributa, admodum dubia esse mihi videtur. Exstitisse librum eius argumenti unum testem habemus Laertium, cuius verba haec sunt (§ 14): οὕτω δ' ἐθαυμάσθη ὥστ' ἔλεγον τοὺς γνωρίμους αὐτοῦ μάντιας θεῶ φωνάς· ἀλλὰ καὶ αὐτὸς ἐν τῇ γραφῇ φησι δι' ἑπτὰ καὶ διηκοσίων ἐτέων ἐξ ἀίδεω παραγεγενῆσθαι ἐς ἀνθρώπους· τοιγὰρ καὶ προσεκαρτέρουν αὐτῷ καὶ τῶν λόγων ἕνεκα προσῄεσαν καὶ Λευκανοὶ καὶ Πευκέτιοι Μεσσάπιοί τε καὶ Ῥωμαῖοι. Quorum postrema Aristoxeni esse cognoscitur ex Porph. Vita Pythag. 22; num vero Rohdius illa ἀλλὰ καὶ — ἀνθρώπους eidem recte attribuerit (*Rhein. Mus.* XXVI p. 558), propterea dubito, quia haec ipsa verba conexum sententiarum satis moleste interrumpere mihi videntur. Ceteris locis ubi Pythagorae de his rebus testimonia adferuntur quid de libris nomen eius ferentibus cogitare nos cogat, equidem non video. Itaque γραφή apud Laertium commemorata, si quidem omnino exstitit (nam ipsum illud testimonium fictum esse non posse quis confidenter ausit affirmare?), quo tempore composita sit, prorsus incertum esse existimo.

XXIII. Laert. IX 16 (cf. Heracliti reliq. rec. Bywater p. 60) Ἱερώνυμος δέ φησι καὶ Σκυθῖνον τὸν τῶν ἰάμβων ποιητὴν ἐπιβαλέσθαι τὸν ἐκείνου (Heracliti) λόγον διὰ μέτρου ἐκβαλεῖν.

Insunt sane in Scythini fragmentis philosophiae Heracliteae vestigia: v. Heeren Stob. ecl. II 2 p. 216. Bergk de reliq. com. Att. antiq. p. 308; poet. lyr. Gr. p. 792 ed. III. Schuster in actis soc. philol. Lips. III p. 354 sq. Bywater p. VII et 68.

XXIV. Laert. VIII 57 (descr. Eudocia p. 170) ἐν δὲ τῷ περὶ ποιητῶν φησιν (Aristoteles) ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς κτλ., καὶ δὴ ὅτι γρά–

ψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα τήν τε τοῦ Ξέρξου διάβασιν καὶ προοίμιον εἰς Ἀπόλλωνα, ταῦθ' ὕστερον κατέκαυσεν ἀδελφή τις αὐτοῦ, ἢ θυγάτηρ, ὥς φησιν Ἱερώνυμος, τὸ μὲν προοίμιον ἄκουσα, τὰ δὲ Περσικὰ βουληθεῖσα διὰ τὸ ἀτελείωτα εἶναι.

Hieronymus igitur narrationem Aristotelicam ita exscripsisse videtur, ut non sororem sed filiam Empedoclis carmina illa ignibus tradidisse referret, sive per neglegentiam in describendo commissam, sive consulto, ut aliquid novi ab ipso videretur prolatum esse. Cf. Karsten, Emped. reliq. p. 63, 184.

XXV. Pergit Laert. VIII 58 (cf. Bernays *die Dial. des Aristot.* p. 139) καθόλου δέ φησι καὶ τραγῳδίας αὐτὸν γράψαι καὶ πολιτικά. Ἡρακλείδης δ' ὁ τοῦ Σαραπίωνος ἑτέρου φησὶν εἶναι τὰς τραγῳδίας. Ἱερώνυμος δὲ τρισὶ καὶ τετταράκοντά φησιν ἐντετυχηκέναι, Νεάνθης δὲ νέον ὄντα γεγραφέναι τὰς τραγῳδίας, καὶ αὐτὸς ἔπειτα αὐταῖς ἐντετυχηκέναι.

Hieronymi et Neanthis testimoniis non tribuo tantam auctoritatem, ut quadraginta tres tragoedias Empedocleas ab illis quidem lectas fuisse, ceterum vero densissimis in tenebris iacuisse credam. Nam ex testimonio dialogi de poetis minime colligi potest, exemplaria tragoediarum Empedoclis nomine inscriptarum posterioribus temporibus re vera exstitisse; nihil narratum ibi fuisse legimus nisi tragoedias, quarum numerus non traditur, ab Empedocle philosopho aliquando scriptas esse. At plerique hodie iis assentiuntur, qui duos fuisse eiusdem nominis homines statuerunt, philosophum et tragicum. Ea fuit sententia Heraclidis Lembi ac fortasse iam antea Satyri vel Sotionis (cf. Mueller fragm. hist. III p. 169 sq.); accuratiora legimus apud Suidam; Ἐμπεδοκλῆς, θυγατριδοῦς τοῦ προτέρου, τραγικός· τραγῳδίαι αὐτοῦ κδ', ubi numerus ad eas fortasse tragoedias referendus est quas Neanthes a se lectas esse affirmavit: quamquam etiam licet numerum depravatum habere (Stein, Emped. fragm. p. 6). Notissimum est, quam usitata apud Graecos fuerit ratio illa, qua ad removendam aliquam difficultatem statuebant idem nomen duobus hominibus fuisse. Itaque vel propterea Heraclidis et Suidae sive potius Hesychii Milesii sententia suspiciosa certe videri debet: reiciendam eam esse arbitror propter testimonium ex dialogo de poetis allatum. In eo testimonio ego nihil omnino veri inesse puto; videtur in illo libro etiam fabulosis rebus locus concessus fuisse (cf.

fragm. Aristot. coll. Heitz p. 26 sq.), neque id ab eius consilio alienum fuit. Sed aliud est, fabulosam narratiunculam commemorare, aliud, ignobilis poetae scaenici tragoedias ad clarissimum philosophum turpi errore referre: alterum dialogo attribuere vereor, alterum in eo factum esse non miror. Potuit autem certe, quandoquidem quinto saeculo Epicharmi et Aeschyli fabulas in Sicilia actas fuisse constabat, postea inter innumerabilia illa commenta quibus litterarum Graecarum historia obruebatur etiam ea opinio oriri, iam ante philosophum scaenicum Atheniensem in Sicilia philosophum aliis carminibus nobilissimum tragicae quoque poesi operam dedisse. Atque haec quidem de dialogi testimonio. De ceteris mihi sic statuendum esse videtur: Hieronymum testimonio Aristotelico adductum esse, ut non solum de Empedoclis tragoediis et ipse referret, sed etiam magnum earum numerum se legisse ad ostentandam eruditionem gloriaretur; deinde idem a se factum asseverasse Neanthem, eiusdem fidei scriptorem (v. Mueller III p. 2 sq.), scilicet ne minore quam ille eruditione instructus putaretur, simulque addidisse, Empedoclem adulescentem scripsisse tragoedias (supervacaneam enim existimo Steinii coniecturam, qui ut Neanthem perversitatis crimine liberaret non de adulescente Empedocle sed de iuniore quodam huius nominis homine eum locutum esse censuit); tum aliis incredibile visum esse, philosophum Agrigentinum tragoedias condidisse: ab his igitur facili illo remedio ad solvendam hanc quaestionem adhibito duos Empedocles esse inventos. Quae sententia postquam prolata fuit, proclivis erat coniectura, tragicum philosophi fuisse nepotem.

Ceterum etiam si quis Empedoclem tragicum sibi eripi non patietur, de numero certe tragoediarum ne illum quidem Hieronymo fidem habiturum esse existimo.

XXVI. 1. Plut. Aristid. 27 Δημήτριος δ' ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς καὶ Ἀριστοτέλης, εἰ δὴ τὸ περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον, ἱστοροῦσι Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι, γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς περὶ Σωκράτους ἀντείρηκεν.

2. Athen. XIII p. 556 A ἐκ τούτων οὖν τις ὁρμώμενος μέμψαιτ' ἂν τοὺς περιτιθέντας Σωκράτει δύο γαμετὰς γυναῖκας, Ξανθίππην καὶ τὴν

Ἀριστείδου Μυρτώ, οὐ τοῦ δικαίου καλουμένου, οἱ χρόνοι γὰρ οὐ συγχωροῦσιν, ἀλλὰ τοῦ τρίτου ἀπ' ἐκείνου. εἰσὶ δὲ Καλλισθένης, Δημήτριος ὁ Φαληρεύς, Σάτυρος ὁ περιπατητικός, Ἀριστόξενος, οἷς τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν ἱστορῶν τοῦτο ἐν τῷ περὶ εὐγενείας. εἰ μὴ ἄρα συγκεχωρημένον κατὰ ψήφισμα τοῦτο ἐγένετο τότε διὰ σπάνιν ἀνθρώπων, ὥστ' ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον. ὅθεν καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἀποσιωπῆσαι τοῦτο, πολλάκις τοῦ Σωκράτους μνημονεύοντας. παρέθετο δὲ (τὸ add. Meineke) περὶ γυναικῶν ψήφισμα Ἱερώνυμος ὁ Ῥόδιος, ὅπερ σοι διαπέμψομαι εὐπορήσας τοῦ βιβλίου. ἀντεῖπε δὲ τοῖς λέγουσι περὶ τῶν Σωκράτους γυναικῶν Παναίτιος ὁ Ῥόδιος.

3. Laert. II 26 φησὶ δ' Ἀριστοτέλης δύο γυναῖκας αὐτὸν (Socratem) ἀγαγέσθαι, προτέραν μὲν Ξανθίππην, ἐξ ἧς αὐτῷ γενέσθαι Λαμπροκλέα, δευτέραν δὲ Μυρτώ, τὴν Ἀριστείδου τοῦ δικαίου θυγατέρα (θυγατριδῆν falso coni. Menagius, cf. Stob. Flor. LXXXVI 25), ἣν καὶ ἄπροικον λαβεῖν, ἐξ ἧς γενέσθαι Σωφρονίσκον καὶ Μενέξενον· οἱ δὲ προτέραν γῆμαι τὴν Μυρτώ φασιν· ἔνιοι δὲ καὶ ἀμφοτέρας ἔχειν ὁμοῦ, ὧν ἐστι Σάτυρός τε καὶ Ἱερώνυμος ὁ Ῥόδιος. φασὶ γὰρ βουληθέντας Ἀθηναίους διὰ τὸ λειπανδρεῖν συναυξῆσαι τὸ πλῆθος ψηφίσασθαι, γαμεῖν μὲν ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑτέρας· ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτην.

Hieronymum in alio libro de Socratis uxoribus exposuisse, in alio plebiscitum attulisse opinio est Luzacii (p. 223. 231), quae neque causam habet neque probabilitatem.

In iis quae de Socratis uxoribus Hieronymus rettulit Aristoxeni auctoritatem eum secutum esse ex Plutarcho colligendum videtur. Cf. Porphyrius apud Theodoretum — qui Aristoxenum a Porphyrio in testimonium vocari dicit — Graec. affect. cur. XII p. 174 et apud Cyrillum contra Iul. VI p. 186 δύο δὲ ἔχειν γυναῖκας ἅμα, Ξανθίππην μὲν πολῖτιν καὶ κοινοτέραν πως, Μυρτὼ δὲ Ἀριστείδου θυγατριδῆν τοῦ Λυσιμάχου (Μυρτὼ δὲ Ἀριστείδου, θυγατριδῆν τοῦ Λυσιμάχου Sylburgius: sed Lysimachus pater fuit Aristidis, itaque ex filio non ex filia neptis Lysimachi Myrto debuit dici). καὶ τὴν μὲν Ξανθίππην προσπλακεῖσαν λαβεῖν, ἐξ ἧς ὁ Λαμπροκλῆς ἐγένετο, τὴν δὲ Μυρτὼ γάμῳ, ἐξ ἧς Σωφρονίσκος καὶ Μενέξενος. Aristoxenus igitur eumque secutus Hieronymus narrasse videntur, Myrto Aristidis neptem fuisse. De eorum sententia qui Myrto filiam iunioris Aristidis fuisse memoriae prodiderunt recte disputavit Heusdius (*Verslagen en Mededeelingen der koninkl. Acad. van Wetensch.* 1858 p. 373),

qui in numero eorum Satyrum fuisse probabiliter statuit. Praeterea ex plebiscito ab Hieronymo allato elucet, duas uxores aeque legitimas Socrati ab eo non esse tributas; neque aliter Aristoxenum de ea re scripsisse veri simile est propter verba Porphyrii. Ergo Athenaeus cum Aristoxenum et Satyrum δύο γαμετὰς γυναῖκας Socrati tribuisse dicit non accurate loqui existimandus est; quae observatio non pertinet ad eos locos quibus δύο γυναῖκες commemorantur. Quo modo orta esset fabula ab Aristoxeno relata, rationibus satis diversis viros doctos explicavisse notum est; meam de hac re sententiam exponere non huius loci esse arbitror: pertinet enim ea quaestio non tam ad Hieronymum Aristoxeni sectatorem quam ad Aristoxeni simulque ad dialogi de nobilitate reliquias tractandas atque interpretandas.

Plebiscitum autem primus protulisse videtur Hieronymus quem Satyrus secutus est; ad hunc fontem referenda sunt etiam Gellii verba (XV, 20) *sive quod duas simul uxores habuerat* (Euripides) *cum id decreto ab Atheniensibus facto ius esset.* De plebisciti sententia Laertius nec plene nec dilucide loquitur. Omissum est id quod necessario addendum fuit: liberis ἐξ ἑτέρας genitis certa quaedam iura tribui; id enim nisi suppleatur, prorsus ridiculam esse decreti sententiam bene intellexit Luzacius p. 79; cf. van den Es de iure famil. apud Athen. p. 4. Praeterea non perspicuum est, utrum γυναικός an ἀστῆς ad verba ἐξ ἑτέρας cogitatione addi Hieronymus voluerit; ad comprobandum duplex Socratis matrimonium utrumque adhiberi potuit, quia Xanthippen civem fuisse nemo unquam negavit. Incredibilia sunt quae Heusdius p. 376 ea de re disseruit. Sed gravior est quaestio, quid omnino de decreto illo statuendum sit. Ac primum quidem monendum est, praeter Hieronymi eorumque qui eum secuti sunt testimonia nulla esse indicia, ex quibus eiusmodi decretum exstitisse probabiliter colligi possit (nam Buermanni argumentationem, *Jahrb. für cl. Philol.* Suppl. IX p. 595, nullam esse facile intellegitur). Iam vero cum vel id ipsum scriptorum silentium satis mirum esset, si decretum re vera factum esset (Mahne de Aristox. p. 84), multo magis mira est decreti sententia, ex qua maritis paelicum usus diserte permissus et quodammodo commendatus fuisse fertur. Quid igitur? credendumne hoc dicamus propter unius Hieronymi auctoritatem? Minime vero. Immo etsi Hieronymum genuino aliquo plebiscito usum vel abusum esse confidenter negare non possum, longe

tamen probabilior mihi videtur sententia eorum, qui plebiscitum omni ex parte dolose fictum esse suspicati sunt.

XXVII. Plut. non posse suaviter vivi sec. Epic. 13 p. 1096 ποῖος γὰρ ἂν αὐλὸς ἢ κιθάρα διηρμοσμένη πρὸς ᾠδὴν ἢ τίς χορὸς εὐρύοπα κέλαδον ἀκροσόφων ἀγνύμενον διὰ στομάτων φθεγγόμενος οὕτως ηὔφρανεν Ἐπίκουρον καὶ Μητρόδωρον, ὡς Ἀριστοτέλη καὶ Θεόφραστον καὶ Ἱερώνυμον καὶ Δικαίαρχον οἱ περὶ χορῶν λόγοι καὶ διδασκαλίαι καὶ τὰ δι' αὐλῶν (τὰ ὑπὲρ αὐλῶν coni. Reiske, τὰ περὶ αὐλῶν Wyttenbach) προβλήματα καὶ ῥυθμῶν καὶ ἁρμονιῶν;

XXVIII. Vita Soph. 12 γέγονε δὲ καὶ θεοφιλὴς ὁ Σοφοκλῆς ὡς οὐκ ἄλλος, καθά φησιν Ἱερώνυμος περὶ τῆς χρυσῆς στεφάνης. ταύτης γὰρ ἐξ ἀκροπόλεως κλαπείσης κατ' ὄναρ Ἡρακλῆς ἐδήλωσε Σοφοκλεῖ, λέγων τὴν μὴ οἰκοῦσαν οἰκίαν ἐν δεξιᾷ εἰσιόντι ἐρευνῆσαι, ἔνθα (καὶ add. Michaelis) ἐκέκρυπτο. ἐμήνυσε δ' αὐτὴν τῷ δήμῳ καὶ τάλαντον ἐδέξατο· τοῦτο γὰρ ἦν προκηρυχθέν. λαβὼν οὖν τὸ τάλαντον ἱερὸν ἱδρύσατο μηνυτοῦ Ἡρακλέους.

Ante illa περὶ τῆς χρυσῆς στεφάνης aliquid excidisse probabiliter statuit Iahnius; ac facillime quidem post Ἱερώνυμος omitti potuit ἱστορῶν: cf. schol. Theocr. 1, 117 ὥς φησιν Ἴβυκος παριστορῶν περὶ τῆς Ὀλυμπίας φιάλης. 7, 103 ὡς Ἔφορος καὶ Ἀριστόδημος ὁ Θηβαῖος ἐν οἷς ἱστορεῖ περὶ τῆς ἑορτῆς τῶν Ὁμολωίων. schol. Apoll. Rhod. II 159 ὥς φησιν Ἀνδροίτας ὁ Τενέδιος ἐν τῷ περίπλῳ τῆς Προποντίδος, παριστορῶν ὅτι κτλ. In codice Tricliniano qui est inter Parisinos 2711 inepte scriptum est Ἱερώνυμος ἐν τῷ περὶ τῆς χρυσῆς στεφάνης.

Verba τὴν μὴ οἰκοῦσαν οἰκίαν a nullo adhuc editore probabiliter sanata sunt. Ritterus μὴ οἰκοῦσαν ortum esse διττογραφίᾳ perverse statuit; Westermanno videbatur in his verbis ὁμοροῦσαν vel simile quid latere, Bergkio denique et Dindorfio nomen proprium: et Bergkius quidem Μητίχου coniecit, Dindorfius Μίκωνος.

De fano Herculis quod a Sophocle conditum esse Hieronymus tradidit cf. Hesych. μηνυτής· Ἡρακλῆς ἐν Ἀθήναις. Boeckh *die Staatshaush. der Ath.* II² p. 462. C. Keil syll. inscr. Boeot. p. 100. Suspicari licet et fanum et fabulam de eius origine iam ante Sophoclem exstitisse, postea vero hanc fabulam ad poetam pietate insignem a populo esse translatam. Consentit cum Hieronymo Tertull. de an. 46

coronam auream cum ex arce Athenaei perdidissent, Sophocles tragicus somniando redinvenit. Mutatam atque exornatam fabulae formam Cicero exhibet de divin. I 25, 54 *qui cum ex aede Herculis patera aurea gravis surrepta esset, in somnis vidit ipsum deum dicentem qui id fecisset. quod semel ille iterumque neglexit. ubi idem saepius, ascendit in Ariopagum, detulit rem. Ariopagitae comprehendi iubent eum qui a Sophocle erat nominatus; is quaestione adhibita confessus est pateramque rettulit. quo facto fanum illud indicis Herculis nominatum est.* Diversitas narrationis fortasse ipsi Ciceroni tribuenda est rem ex Graeco libro depromptam liberius tractanti (Dettmer de Hercule Att. p. 14); de commemoratione Areopagi cf. Meier et Schoemann *der att. Process* p. 306, 42. Id unum memorabilius videri potest, quod Cicero templum aetate Sophoclis antiquius fuisse narrat.

XXIX. Philod. de rhet. IV 2 col. 16
Ἱερώνυμος δέ φησιν, ἀναγνῶναι μὲν αὐτοῦ (Isocratis) τοὺς λόγους . . . . (ῥᾳδίως suppl. ed. Neap.) δυνήσεσθαί τινα, δημηγορῆσαι δὲ τὴν φωνὴν καὶ τὸν τόνον ἐπαίροντα καὶ ἐν ταύτῃ τῇ κατασκευῇ μετὰ τῆς ἁρμοττούσης ὑποκρίσεως εἰπεῖν οὐ παντελῶς· τὸ γὰρ μέγιστον καὶ κινητικώτατον παρεῖσθαι τῶν ὄχλων· ἄψυχον γὰρ αὐτοῦ καὶ ἀνυπάκουστον εἶναι τὴν λέξιν καὶ οἱονεὶ πρὸς ἕνα τόνον πεποιημένην· τὸ δὲ κεκλασμένον καὶ παντοδαπὸν καὶ ἐπιτάσει τε καὶ ἀνέσει καὶ ταῖς παθητικαῖς ὑπερθέσεσι διειλημμένον ἀποβεβληκέναι, τῇ δὲ λειότητι διὰ παντὸς δουλεύειν.

Dion. Hal. de Isocr. iud. 13
Ἱερώνυμος δὲ ὁ φιλόσοφός φησιν, ἀναγνῶναι μὲν ἄν τινα δυνηθῆναι τοὺς λόγους αὐτοῦ καλῶς, δημηγορῆσαι δὲ τήν τε φωνὴν καὶ τὸν τόνον ἐπάραντα καὶ ἐν ταύτῃ τῇ κατασκευῇ μετὰ τῆς ἁρμοττούσης ὑποκρίσεως εἰπεῖν οὐ παντελῶς· τὸ γὰρ μέγιστον καὶ κινητικώτατον τῶν ὄχλων παραιτεῖσθαι, τὸ παθητικὸν καὶ ἔμψυχον· δουλεύειν γὰρ αὐτὸν τῇ λειότητι διὰ παντός· τὸ δὲ κεκραμένον καὶ παντοδαπὸν ἐπιτάσει τε καὶ ἀνέσει καὶ τὸ ταῖς παθητικαῖς ὑποθέσεσι διειλημμένον ὑπερβεβηκέναι.

Quae iam sequuntur apud Dionysium non exstant: τοιγαροῦν ⟨εὐ⟩ανάγνωστον μὲν εἶναι φωνῆς ὑφειμένης, ἐπαρθείσης δὲ ⟨μή⟩, κἂν ταῖς περιόδοις καὶ π⟨ερι⟩ειλοῦσαν (ita Blass, ⟨προ⟩ειλοῦσαν ed. Neap.) τὸν λέγοντα καὶ τὴν ὑπόκρισιν ἀφαιρουμένην (ἀφαιρουμενου codex, em. Spengel), καὶ σχεδὸν ἐναντίαν τῇ τῶν πολιτικῶν. ⟨τὸ⟩ν (⟨τῶ⟩ν ed. Neap.) δὲ πολιτευομένων ἐπιστατήσοντα δεῖν καὶ δημηγορικὴν κα⟨τα⟩κεχύσθαι (κα⟨τεγ⟩κεχύσθαι ed.

Neap.) λέξιν καὶ μὴ τὴν ἐπιδίφριον καὶ καταψιθυρίζουσαν τὸν λόγον. ὅμοιον γοῦν εἶναι τῷ δασὺ καὶ μέγα περιθέμενον πρόσωπον (προσωπου ut vid. codex) παιδίου φωνὴν ἀφιέναι ⟨καὶ⟩ τὸ τοῖς Ἕλλησι συμβουλεύοντα καὶ πλάσμα καὶ τὴν ἄλλην κατασκευὴν δημηγόρου

περιβαλλόμενον ἐπ' ἀναγνώστου παιδὸς φωνὴν ἀποδεδρακέναι, μήτε τόνον μήτε πάθος μήθ' ὑπόκρισιν δυναμένου φέρειν.	Pergit Dion. καθόλου δέ φησιν αὐτὸν εἰς ἀναγνώστου παιδὸς φωνὴν καταδύντα μήτε τόνον μήτε πάθος μήτε ὑπόκρισιν δύνασθαι φέρειν.

Prioris partis genuina forma haec fuisse videtur: ἀναγνῶναι μὲν ἄν τινα δυνηθῆναι τοὺς λόγους αὐτοῦ καλῶς, δημηγορῆσαι δὲ τὴν φωνὴν καὶ τὸν τόνον ἐπάραντα καὶ ἐν ταύτῃ τῇ κατασκευῇ μετὰ τῆς ἁρμοττούσης ὑποκρίσεως εἰπεῖν οὐ παντελῶς. τὸ γὰρ μέγιστον καὶ κινητικώτατον τῶν ὄχλων παρεῖσθαι, τὸ παθητικὸν καὶ ἔμψυχον· ἄψυχον γὰρ αὐτοῦ καὶ ἀνυπάκουστον εἶναι τὴν λέξιν καὶ οἱονεὶ πρὸς ἕνα τόνον πεποιημένην· τὸ δὲ κεχραμένον καὶ παντοδαπὸν ἐπιτάσει τε καὶ ἀνέσει καὶ τὸ ταῖς παθητικαῖς ὑπερθέσεσι διειλημμένον ἀποβεβληκέναι, τῇ δὲ λειότητι διὰ παντὸς δουλεύειν.

Cf. Spengel, *Abh. der phil.-hist. Kl. der bayer. Akad.* III 1 p. 275 sqq. Blass *die att. Bereds.* II p. 111. 185 sq.

XXX. Cic. Or. 56, 190 *elegit ex multis Isocrati libris triginta fortasse versus Hieronymus peripateticus imprimis nobilis, plerosque senarios, sed etiam anapaestos; quo quid potest esse turpius? etsi in eligendo fecit malitiose: prima enim syllaba dempta in primo verbo sententiae postremum ad verbum primam rursus syllabam adiunxit insequentis; itaque factus est anapaestus is, qui Aristophanius nominatur; quod ne accidat, observari nec potest nec necesse est. sed tamen hic corrector in eo ipso loco, quo reprehendit, ut a me animadversum est studiose inquirente in eum, immittit imprudens ipse senarium.*

Hieronymum in tractanda hac re non minus neglegentem quam malignum fuisse ostendit Spengelius art. scriptt. p. 152 sq. Cf. Blass *die att. Bereds.* II p. 136. Ex Ciceronis loco fluxit commemoratio Hieronymi apud Rufinum de num. orat. p. 573 Keil. *de compositione et numeris et pedibus oratoriis, ut Cicero dicit, isti scripserunt apud Graecos: Thrasymachus, Naucrates* e. q. s., *Hieronymus.*

XXXI. Plut. Ages. 13 (regum et imperat. apophthegm. p. 191. apophth. Lacon. p. 209) ἐν μὲν οὖν τοῖς πλείστοις τοιοῦτος ὑπὲρ τῶν φίλων

ὁ Ἀγησίλαος· ἔστι δὲ ὅπου πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ καὶ μᾶλλον, ὡς ἐδήλωσεν, ἀναζυγῆς αὐτῷ θορυβωδεστέρας γενομένης, ἀσθενοῦντα καταλιπὼν τὸν ἐρώμενον. ἐκείνου γὰρ δεομένου καὶ καλοῦντος αὐτὸν ἀπιόντα μεταστραφεὶς εἶπεν· 'ὡς χαλεπὸν ἐλεεῖν ἅμα καὶ φρονεῖν'. τουτὶ μὲν Ἱερώνυμος ὁ φιλόσοφος ἱστόρηκεν.

In initio huius loci corruptum est illud τῷ καιρῷ καὶ μᾶλλον vel, quod in apophth. Lacon. legitur, τῷ καιρῷ μᾶλλον, neque magis aptum τῷ ἑταιρικῷ μᾶλλον quod Emperius proposuit: nam Agesilaus in iis quae ab Hieronymo narrantur neque temporis opportunitate neque amico animo magis usus est; fortasse legendum τῷ καρτερικῷ μᾶλλον.

XXXII. Athen. II p. 48 B ἤκμασε δ' ἡ τῶν ποικίλων ὑφὴ μάλιστα ἐντέχνων περὶ αὐτὰ γενομένων Ἀκεσᾶ καὶ Ἑλικῶνος τῶν Κυπρίων. ὑφάνται δ' ἦσαν ἔνδοξοι. καὶ ἦν Ἑλικὼν υἱὸς Ἀκεσᾶ, ὥς φησιν Ἱερώνυμος· ἐν Πυθοῖ γοῦν ἐπί τινος ἔργου ἐπιγέγραπται

τεῦξ' Ἑλικὼν Ἀκεσᾶ Σαλαμίνιος, ᾧ ἐνὶ χερσὶ
πότνια θεσπεσίην Παλλὰς ἔτευξε χάριν.

τοιοῦτος ἦν καὶ Παθυμίας ὁ Αἰγύπτιος.

Cf. O. Mueller *Archaeol.* 13, 1. Brunn *Gesch. der griech. Künstler* II p. 12 sq. Rhodiorum civitas sago ab Helicone facto Alexandrum donavit, teste Plutarcho Alex. 32 ἐπιπόρπωμα δὲ ἐφόρει τῇ μὲν ἐργασίᾳ σοβαρώτερον ἢ κατὰ τὸν ἄλλον ὁπλισμόν· ἦν γὰρ ἔργον Ἑλικῶνος τοῦ παλαιοῦ, τιμὴ δὲ τῆς Ῥοδίων πόλεως, ὑφ' ἧς ἐδόθη δῶρον: quo loco Heliconem Rhodium appellari non recte dicit Leutschius ad Zenob. I 56. Aliam atque Hieronymus de his artificibus, quorum memoria omnino incerta fuisse videtur, famam Zenobius sequitur l. c. Ἀκεσέως καὶ Ἑλικῶνος ἔργα, ἐπὶ τῶν θαύματος ἀξίων· οὗτοι γὰρ πρῶτοι τὸν τῆς Πολιάδος Ἀθηνᾶς πέπλον ἐδημιούργησαν, ὁ μὲν Ἀκεσεὺς γένος ὢν Παταρεύς, ὁ δὲ Ἑλικὼν Καρύστιος. Falsam prioris nominis formam Diogenianus exhibet II 7 Ἀκεσαίου καὶ Ἑλικῶνος ἔργα κτλ. Opinionem Zenobii reiciendam esse propter epigramma ab Hieronymo appositum censet Brunnius; verum fortasse non ab ipso Acesa sed postea demum epigramma texturae adiectum erat.

XXXIII. De morbis vel mortibus deorum similisve generis argumento Hieronymi testimonium apud Arnobium adv. nat. IV 25 prolatum fuisse videtur. In codice exstat nomen *Heronymus*; cf. Reifferscheid ad p. 162, 11.

XXXIV. Clem. Al. Protr. 2, 30 Ἡρακλέα οὖν καὶ αὐτὸς Ὅμηρος θνητὸν οἶδεν ἄνθρωπον. Ἱερώνυμος δὲ ὁ φιλόσοφος καὶ τὴν σχέσιν αὐτοῦ ὑφηγεῖται τοῦ σώματος, μικρόν, φριξότριχα, ῥωστικόν· Δικαίαρχος δὲ σχιζίαν, νευρώδη, μέλανα, γρυπόν, ὑποχαροπόν, τετανότριχα.

μακρόν pro μικρόν legendum esse censuit Hoeschelius; sed fortasse abusus erat Hieronymus verbis Pindari Isthm. 3, 71 καίτοι πότ' Ἀνταίου δόμους Θηβᾶν ἀπὸ Καδμειὰν μορφὰν βραχύς, ψυχὰν δ' ἄκαμπτος προσπαλαίσων ἦλθ' ἀνὴρ κτλ. υἱὸς Ἀλκμήνας. Cf. Welcker *griech. Götterl.* II p. 765, 39. De Herculis capillis v. O. Mueller *Archaeol.* 410, 2.

XXXV. Schol. B Il. Λ 5 Ἱερώνυμός φησι τὸν Τιθωνὸν αἰτήσασθαι ἀθανασίαν παρὰ τῆς Ἠοῦς, οὐ μέντοι καὶ ἀγηρασίαν· ὡς δὲ πολλῷ τῷ γήρᾳ χρώμενος ἐδυσφόρει, αἰτήσασθαι θάνατον· τὴν δὲ ἀδυνατοῦσαν εἰς τέττιγα αὐτὸν μεταβαλεῖν, ὅπως ἥδοιτο διηνεκῶς τῆς φωνῆς ἀκούουσα.

(Eustath. p. 825 φασὶ δὲ Ἱερώνυμόν τινα ἱστορεῖν ὅτι Τιθωνὸς κτλ. Hinc legitur apud Eudoc. p. 395 Ἱερώνυμος δὲ ὁ ἱστορικὸς ἱστορεῖ ὅτι Τιθωνὸς κτλ.)

Schol. A: αἰτήσασθαι δὲ τὸν Τιθωνὸν παρὰ τῆς Ἠοῦς ἀθανασίαν· ὁ δὲ γέρων γενόμενος — διὰ γὰρ ἄγνοιαν οὐκ ᾐτήσατο καὶ ἀγηρασίαν — ἀχθόμενος καὶ τῶν ἐν βίῳ μὴ δυνάμενος μεταλαμβάνειν παρεκάλει τὴν θεόν, ὅπως αὐτὸν τοῦ ζῆν μεταλλάξῃ· ἡ δὲ — οὐ γὰρ ἦν αὐτὸν δυνατὸν ἀποθανεῖν — μετέβαλεν εἰς τέττιγα τὸν μουσικώτατον τῶν πτηνῶν, ὅπως καὶ διὰ τῆς φωνῆς αὐτοῦ τέρποιτο διηνεκῶς ἀκούουσα.

Hieronymo Aegyptio cuius mentio fit apud Iosephum et fortasse apud Damascium sine ulla probabilitate haec tribuit Goebelius (*Jahrb. f. class. Philol.* 1866 p. 164). Peripateticum fabulas ad deos et heroes pertinentes nonnumquam commemorasse ostendunt fragm. XXXIII et XXXIV; praeterea cf. Luzac p. 177, 9. Zenob. VI 18 ἱστορεῖται ὅτι Τιθωνὸς κατ' εὐχὴν τὸ γῆρας ἀποθέμενος τέττιξ ἐγένετο, ὥς φησι Κλέαρχος ἐν τῷ περὶ βίων. Clearchus apud Ath. I p. 6 B Τιθωνοῦ Μελάνθιος ἔοικε βουλεύσασθαι βέλτιον· ὁ μὲν γὰρ ἀθανασίας ἐπιθυμήσας ἐν θαλάμῳ κρέμαται, πάντων ὑπὸ γήρως ἐστερημένος τῶν ἡδέων κτλ. (cf. Ath. XII p. 548 F). Cic. Cato mai. 1, 3 *omnem autem sermonem tribuimus non Tithono, ut Aristo Ceus: parum enim esset auctoritatis in fabula* e. q. s. Philodemus de piet. (cf. Buecheler, *Jahrb. f. class. Philol.* 1865 p. 516) καὶ Ἀκουσίλαος Τιθωνὸν μὲν κτλ.



Fabulam de Tithono fusius ita narratam ut ab Hieronymo prolata esse dicitur apud antiquiores scriptores non inveni. Tithonum in cicadam conversum, de qua fabula disputaverunt Prellerus *griech. Mythol.* I³ p. 360 et Welckerus *griech. Götterl.* I p. 686, ignorant auctor hymni Homerici in Venerem vs. 218 sqq. et Mimnermus apud Stob. Flor. CXVI 33; cf. etiam Aristoph. Ach. 688. Philonid. apud Poll. III 18. Rettulerat hanc fabulam ante Clearchum Hellanicus: schol. A Il. Γ 151 μακρῷ δὲ βίῳ δαπανηθέντος ἐκείνου μετέβαλεν αὐτὸν εἰς τέττιγα ἡ θεός κτλ. ἱστορεῖ Ἑλλάνικος.

Restat ut eorum locorum mentionem faciam qui Hieronymo Rhodio non recte adscripti sunt.

Ac primum quidem Luzacius (p. 231) tribuendos ei esse putavit hos duos locos Athenaei: V p. 206 E γράφει οὖν ὁ Μοσχίων οὕτως· Διοκλείδης μὲν ὁ Ἀβδηρίτης θαυμάζεται ἐπὶ τῇ πρὸς τὴν Ῥοδίων πόλιν ὑπὸ Δημητρίου προσαχθείσῃ τοῖς τείχεσιν ἑλεπόλει κτλ., καὶ Ἱερώνυμος ἐπὶ τῇ κατασκευῇ τῆς ἁρμαμάξης ᾗ συνέβαινε καταχομισθῆναι τὸ Ἀλεξάνδρου σῶμα. p. 217 E Περδίκκας τοίνυν πρὸ Ἀρχελάου βασιλεύει, ὡς μὲν ὁ Ἀκάνθιός φησι Νικομήδης ἔτη τεσσαράκοντα ἕν, Θεόπομπος δὲ τριάκοντα πέντε, Ἀναξιμένης τεσσαράκοντα, Ἱερώνυμος εἴκοσιν ὀκτώ, Μαρσύας δὲ καὶ Φιλόχορος εἴκοσι τρία. Sed uterque locus, ut recte intellexit Brueckneru s, *Ztschr. f. d. Alterthumswiss.* 1842 p. 257, ex Hieronymi Cardiani historiis petitus est. De priore cf. Reuss *Hieronymos von Kardia* p. 103. Alterum Rhodio iterum assignavit C. Muellerus fragm. hist. Gr. II p. 452. Putat enim, ad illius περὶ ποιητῶν libros propterea eum referendum esse, quia Hieronymi testimonium eo loco ab Athenaeo adferatur ubi de Agathonis tragici apud Archelaum versati temporibus disputet; quam argumentationem falsam esse nemo negabit, qui totam quae apud Athenaeum exstat disputationem accurate perlegerit. Contraria sententia eam ob causam pro vera habenda est, quia auctor illius disputationis (quae ex Herodici Babylonii libro πρὸς τὸν Φιλοσωκράτη sumpta est) de numero annorum quos Perdiccas regnaverit historicos, non philosophos in testimonium vocat. Neque quidquam obstat, quo minus statuamus, Hieronymum Cardianum data occasione de antiquiorum Macedoniae regum temporibus disseruisse (v. Brueckner p. 259 sq.), sicut eum de antiquitatibus Romanis obiter exposuisse testatur Dionysius Halic. Antiq. Rom. I 6.

Nec minus recte ad Cardianum a Muellero (p. 453) tres Strabonis loci relati sunt, quos Rhodio Westermannus (ad Voss. de histor. Gr. p. 83) assignaverat. VIII p. 378 sq. τὴν δὲ τοποθεσίαν τῆς πόλεως (Corinthi), ἐξ ὧν Ἱερώνυμός τε εἴρηκε καὶ Εὔδοξος καὶ ἄλλοι, καὶ αὐτοὶ δὲ εἴδομεν, νεωστὶ ἀναληφθείσης ὑπὸ τῶν Ῥωμαίων, τοιάνδε εἶναι συμβαίνει. IX p. 443 Ἱερώνυμος δὲ τῆς πεδιάδος Θετταλίας καὶ Μαγνήτιδος τὸν κύκλον τρισχιλίων ἀποφαίνεται σταδίων· ᾠκῆσθαι δ' ὑπὸ Πελασγῶν· ἐξελαθῆναι δὲ τούτους εἰς τὴν Ἰταλίαν ὑπὸ Λαπιθῶν· εἶναι δὲ τὸ νῦν καλούμενον Πελασγικὸν πεδίον, ἐν ᾧ Λάρισα καὶ Γυρτώνη καὶ Φεραὶ καὶ Μόψιον καὶ Βοιβηὶς καὶ Ὄσσα καὶ Ὁμόλη καὶ Πήλιον καὶ Μαγνῆτις. X p. 475 Ἱερώνυμος δὲ μῆκος (Cretae) δισχιλίων (σταδίων) φήσας, τὸ δὲ πλάτος ἀνώμαλον, πλειόνων ἂν εἴη λέγων τὸν κύκλον ἢ ὅσων Ἀρτεμίδωρος. Westermanno assensus est Brueckneras, hoc ille usus argumento, quod tribus quos attuli locis nudum Hieronymi nomen legitur, Strabo autem XIV p. 655 peripateticum inter illustres Rhodios commemorat. Neque vero quidquam hac re comprobari potest: nam satis constat, in adferendis tribus illis Hieronymi fragmentis Strabonem alius scriptoris auctoritate niti: v. Reuss p. 151. Niese, *Rhein. Mus.* XXXII p. 281 sqq. Accuratae autem mensurarum definitiones quas duo posteriora fragmenta praebent non Rhodio sed Cardiano convenire videntur: cf. Reuss p. 90 sqq. Quibus locis historiarum Cardiani posita fuerint tria fragmenta a Strabone servata, satis facile conici potest: v. Reuss p. 107.

Ea denique quae leguntur apud Damascium de primis princip. p. 381 τοιαύτη μὲν ἡ συνήθης Ὀρφικὴ θεολογία, ἡ δὲ κατὰ τὸν Ἱερώνυμον καὶ Ἑλλάνικον, εἴπερ μὴ καὶ ὁ αὐτός ἐστιν, οὕτως ἔχει, ubi Hieronymum Rhodium commemorari arbitratus erat Tiedemannus (*Griechenlands erste Philos.* p. 61), ad Hieronymum Aegyptium (Ios. Ant. Iud. I 3, 6. 9) a Muellero (p. 450), Schustero (de veteris Orph. Theog. indole atque orig. p. 100), Zellero (I p. 84) summa cum probabilitate sunt relata.

Typis expresserunt Breitkopf et Haertel Lipsienses.

